τοῦ πολιτεύματος διηνεκῶς φροντιζόμενος· καὶ πρῶτον μὲν τὰ περὶ τὰς ἀρχαιρεσίας ἄριστα διαθέμενος ἐπὶ τὸ κρεῖττον καὶ τελεώτερον τὰ ἀξιώματα μετήνεγκεν, ἐφ᾽ οἷς καὶ πᾶσαν ὁδὸν ἐπινοῶν οὐκ ἐπαύσατο, ὧν ἑώρα πρὸς ὄφελος, ἐπίδοσιν, καὶ κόσμον τῶν ἀρχομένων· τὴν τοῦ Ἑλληνομουσείου φημὶ σύστασιν καὶ διηνεκῆ περίθαλψιν· τὰς ἐπαινεμένας διά τε τὸ χρήσιμον, οὐ μὴν ἀλλὰ καὶ ἀναγκαῖον οἰκοδομὰς, οἷα τό, τε ἐκ θεμελίων νεουργηθὲν τῶν ἐξ ἐρίου πολυχρήστων ὑφασμάτων ταλασσιουργεῖον, τὸ τοῦ γραφικοῦ χάρτου ἐργαστήριον, καὶ ὃ οὔποτε πρότερον οὐδενὶ τῶν προηγεμονευσάντων εἰς νοῦν ἐπῆλθεν, ἀναγκαῖον γε μὴν ἐς τὰ μάλιστα, τὸ τοῖς ἐλεεινῶς τῷ κατέχοντι